40 ἀγαθὸν αὐτοῖς καὶ τοῖς τέκνοις αὐτῶν μετ᾽ αὐτούς. [40]καὶ δια-
θήσομαι αὐτοῖς διαθήκην αἰωνίαν, ἣν οὐ μὴ ἀποστρέψω ὄπι-
σθεν αὐτῶν· καὶ τὸν φόβον μου δώσω εἰς τὴν καρδίαν αὐτῶν
41 πρὸς τὸ μὴ ἀποστῆναι αὐτοὺς ἀπ᾽ ἐμοῦ. [41]καὶ ἐπισκέψομαι τοῦ
ἀγαθῶσαι αὐτοὺς καὶ φυτεύσω αὐτοὺς ἐν τῇ γῇ ταύτῃ ἐν πίστει
42 καὶ ἐν πάσῃ καρδίᾳ καὶ ἐν πάσῃ ψυχῇ. [42]ὅτι οὕτως εἶπεν κύριος
Καθὰ ἐπήγαγον ἐπὶ τὸν λαὸν τοῦτον πάντα τὰ κακὰ τὰ μεγάλα
ταῦτα, οὕτως ἐγὼ ἐπάξω ἐπ᾽ αὐτοὺς πάντα τὰ ἀγαθά, ἃ ἐλάλησα
43 ἐπ᾽ αὐτούς. [43]καὶ κτηθήσονται ἔτι ἀγροὶ ἐν τῇ γῇ, ᾗ σὺ λέγεις
Ἄβατός ἐστιν ἀπὸ ἀνθρώπων καὶ κτήνους καὶ παρεδόθησαν εἰς
44 χεῖρας Χαλδαίων. [44]καὶ κτήσονται ἀγροὺς ἐν ἀργυρίῳ, καὶ γράψεις
βιβλίον καὶ σφραγιῇ καὶ διαμαρτυρῇ μάρτυρας ἐν γῇ Βενιαμιν καὶ
κύκλῳ Ιερουσαλημ καὶ ἐν πόλεσιν Ιουδα καὶ ἐν πόλεσιν τοῦ ὄρους
καὶ ἐν πόλεσιν τῆς Σεφηλα καὶ ἐν πόλεσιν τῆς Ναγεβ, ὅτι ἀπο-
στρέψω τὰς ἀποικίας αὐτῶν.
40 [1]Καὶ ἐγένετο λόγος κυρίου πρὸς Ιερεμιαν δεύτερον, καὶ αὐτὸς
2 ἦν ἔτι δεδεμένος ἐν τῇ αὐλῇ τῆς φυλακῆς, λέγων [2]Οὕτως εἶπεν
κύριος ποιῶν γῆν καὶ πλάσσων αὐτὴν τοῦ ἀνορθῶσαι αὐτήν, κύ-
3 ριος ὄνομα αὐτῷ [3]Κέκραξον πρός με, καὶ ἀποκριθήσομαί σοι καὶ
4 ἀπαγγελῶ σοι μεγάλα καὶ ἰσχυρά, ἃ οὐκ ἔγνως αὐτά. [4]ὅτι οὕτως
εἶπεν κύριος ὁ θεὸς Ισραηλ περὶ οἴκων τῆς πόλεως ταύτης καὶ
περὶ οἴκων βασιλέως Ιουδα τῶν καθῃρημένων εἰς χάρακας καὶ
5 προμαχῶνας [5]τοῦ μάχεσθαι πρὸς τοὺς Χαλδαίους καὶ πληρῶσαι
αὐτὴν τῶν νεκρῶν τῶν ἀνθρώπων, οὓς ἐπάταξα ἐν ὀργῇ μου καὶ
ἐν θυμῷ μου, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ᾽ αὐτῶν περὶ
6 πασῶν τῶν πονηριῶν αὐτῶν [6]Ἰδοὺ ἐγὼ ἀνάγω αὐτῇ συνούλωσιν
καὶ ἴαμα καὶ φανερώσω αὐτοῖς εἰσακούειν καὶ ἰατρεύσω αὐτὴν
7 καὶ ποιήσω αὐτοῖς εἰρήνην καὶ πίστιν· [7]καὶ ἐπιστρέψω τὴν ἀποι-
κίαν Ιουδα καὶ τὴν ἀποικίαν Ισραηλ καὶ οἰκοδομήσω αὐτοὺς καθὼς
8 τὸ πρότερον· [8]καὶ καθαριῶ αὐτοὺς ἀπὸ πασῶν τῶν ἀδικιῶν αὐ-
τῶν, ὧν ἡμάρτοσάν μοι, καὶ οὐ μὴ μνησθήσομαι ἁμαρτιῶν αὐτῶν, ὧν

40 αιωνιαν B†] -νιον rel.: cf. 38 3 || 41 του] αυτους S | καρδια] pr. αληθ⟨ε⟩ια S*(†): cf. 𝔐 | fin.] + μου A || 42 επαξω] επαγω AQ† || 43 η] ην A | εστιν] εσται BApau. | ανθρωπου SA || 44 κυκλω] -λοθεν A | ιερουσ.] pr. της B† | και εν πολεσιν paenult. > B(†)

40 (𝔐 33) 1 δευτερον] εκ -ρου A | ην ετι] tr. A || 3 αναγγελω A || 4 ο θεος ισραηλ > Bpau.: cf. 41 13 et 34 4 36 4 37 2 39 28. 36 etc. | οικων $1^{0} \frown 2^{0}$ S*† | οικων $2^{0}$] οικιας A | καθημενων A || 5 των $1^{0}$ > A | θυμω] pr. τω S || 6 επαγω επ αυτους A(†) | ιαμα] + και ιατρευσω αυτους(S* -την) SA = 𝔐, sed habent eadem uerba etiam post εισακουειν | εισακουειν > B† | αυτην] -τους ASc | ποιησω αυτοις > BS*† || 7 αποστρεψω S*A | ισραηλ] ιερουσαλημ Sc | καθως] ως A; + και BSpau. || 8 ου μη μνησθω S†